ΨΕΥΔΟ-ΠΛΑΤΩΝΟΣ

ΣΙΣΥΦΟΣ.

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ.

ΣΩΚΡΑΤΗΣ, ΣΙΣΥΦΟΣ.

The MSS. collated by Bekker, are AΘΞΣΥΩBCZ.

ΨΕΥΔΟ-ΠΛΑΤΩΝΟΣ

ΣΙΣΥΦΟΣ.*

Η

ΠΕΡΙ ΤΟΥ ΒΟΥΛΕΥΕΣΘΑΙ.

§ I. [p. 387.] Ἡμεῖς δὲ[1] καὶ χθές σε πολὺν χρόνον ἀνεμείναμεν, ὦ Σίσυφε, ἐπὶ τῇ Στρατονίκου ἐπιδείξει, ὅπως ἂν ξυνηκροῶ ἡμῖν ἀνδρὸς σοφοῦ, πολλά τε καὶ καλὰ ἐπιδεικνυμένου πράγματα[2] καὶ λόγῳ καὶ ἔργῳ· καὶ ἐπεὶ[3] σὲ οὐκέτι ᾠόμεθα παρέσεσθαι, αὐτοὶ ἤδη ἠκροώμεθα τἀνδρός.

ΣΙ. Ναὶ μὰ[4] τὸν Δία· ἀσχολία γάρ μοί τις ἐγένετο ἀναγκαιοτέρα, ὥστε μὴ παραμελῆσαι αὐτῆς. Οἱ γὰρ ἄρχοντες ἡμῶν ἐβουλεύοντο χθές· ξυμβουλεύειν οὖν αὐτοῖς ἠνάγκαζόν με. Ἡμῖν δὲ τοῖς Φαρσαλίοις καὶ νόμος[5] ἐστὶ τοῖς ἄρχουσι πείθεσθαι, ἂν κελεύωσι ξυμβουλεύειν τινὰ ἡμῶν αὐτοῖς.

* Σίσυφος] This dialogue, said by Diog. L. iii. 62. to be decidedly not written by Plato, was one of those entitled Ἀκέφαλοι, and attributed to Æschines, son of Charinus, the sausage-maker; and of whom Socrates said, as we learn from Diog. L. ii. 60., Μόνος ἡμᾶς οἶδε τιμᾶν ὁ τοῦ ἀλλαντοποιοῦ. Boëckh on Plato Min. p. 33. assigns this and the dialogue entitled Demodocus to one and the same author.

§ I. 1. ἡμεῖς δὲ] If the dialogue were originally ἀκέφαλος, we need not wonder at the appearance of δὲ here; otherwise we should rather have expected νὴ Δία.

2. πράγματα] This mention of *acts* seems strange; unless it be said that Stratonicus was, like Hippias, a mechanic as well as philosopher. But of that person, as well as Sisyphus, nothing is known elsewhere. A similar expression is, however, found in another spurious dialogue, called Hipparchus, p. 228. B. ἄλλα τε πολλὰ καὶ καλὰ ἔργα σοφίας ἀπεδείξατο, καὶ τὰ Ὁμήρου ἔπη πρῶτος ἐκόμισεν εἰς τὴν γῆν ταυτηνί.

3. καὶ ἐπεὶ] This καὶ has no business here. The sense requires ἐπεὶ δέ.

4. ναὶ μὰ] The oldest instances of this common form of adjuration is to be found in Hom. Il. A. 235. Ναὶ μὰ τόδε σκῆπτρον. In the present case, however, the sentence is too abrupt, to admit of such an expression.

5. καὶ νόμος] Here again καὶ is without meaning. The author wrote, perhaps, ἀεί.

ΣΩ. Ἀλλὰ καλὸν τό τε τῷ νόμῳ πείθεσθαι, τό τε ὑπὸ τῶν πολιτῶν δεδοξάσθαι εὔβουλον εἶναι, ὥσπερ καὶ σὺ [δεδόξασαι εὔβουλος εἶναι εἷς τῶν Φαρσαλίων][6] ἀτὰρ, ὦ Σίσυφε, ἐγὼ γὰρ οὔ πω περὶ τοῦ εὖ βουλεύεσθαι τοὺς λόγους ἂν δυναίμην ποιήσασθαι πρὸς σέ, ἡγούμενος καὶ σχολῆς εἶναι πολλῆς καὶ λόγου μακροῦ· ἀλλὰ περὶ αὐτοῦ τοῦ βουλεύεσθαι πρῶτον,[7] ὅ τι ἔστιν, ἐγχειρήσαιμ' ἂν διαλεχθῆναί σοι. Ἆρ' οὖν ἔχοις ἄν μοι εἰπεῖν αὐτὸ τὸ βουλεύεσθαι ὅ τί ποτ' ἔστι; μή μοι ἢ τὸ εὖ ἢ κακῶς ἢ τὸ καλῶς πως,[8] ἀλλ' αὐτὸ μόνον τὸ βουλεύεσθαι, ὁποῖόν τι ἐστίν. Ἦ καὶ πάνυ ῥᾳδίως[9] αὐτός γε οὕτως εὔβουλος ὤν; Ἀλλὰ μὴ ἐμὴ περιεργία ᾖ καὶ τὸ ἐρωτῆσαί σε περὶ τούτου;

ΣΙ. Ἦ σοι γὰρ ἄγνωστόν ἐστιν ὅ τι τὸ βουλεύεσθαι ἐστίν;

ΣΩ. Ἔμοιγε, ὦ Σίσυφε, εἴ γέ τι ἄλλο ἐστὶν ἢ ὅ περ τὸ μὴ ἐπιστάμενόν τινα περὶ ὧν ἂν δέῃ τι πράττειν, διαμαντευόμενον καὶ σχεδιάζοντα λέγειν ὅ τι ἂν τύχῃ, εἰκάζοντα καὶ κατὰ ταὐτὰ αὐτῷ,[10] ὥσπερ καὶ οἱ ἀρτιάζοντες[11] τῶν ἀνθρώπων, οὐδὲν ἐπιστάμενοι[12] δή που περὶ τῶν ἀρτίων τε καὶ περιττῶν ὧν ἂν ἐν ταῖς χερσὶ ταῖς αὐτῶν ἔχωσιν, [p. 388] ὅμως ἐπιτυγχάνουσι λέγοντες περὶ τῶν αὐτῶν τἀληθῆ. Πολλάκις μὲν οὖν τοιοῦτόν τι καὶ τὸ βουλεύεσθαί ἐστιν, οἷον μηδὲν ἐπιστάμενον περὶ ὧν ἂν βουλεύηταί τις, ἀπὸ τύχης εἰπόντα ἐπιτυγχάνειν τἀληθῆ. Εἰ μὲν οὖν τοιοῦτόν ἐστι, γιγνώσκω δὴ

6. δεδόξασαι — Φαρσαλίων] These words are a manifest interpolation. With regard to the subject matter, compare Hipp. Maj. § 2.

7. πρῶτον] So Bekk. with the three best Mss. (A Ω Z). The rest omit πρῶτον.

8. τὸ εὖ ἢ κακῶς ἢ τὸ καλῶς πως] But ἢ τὸ καλῶς πως are manifestly superfluous after εὖ. Read τό γ' ἄλλως πως. Compare Alcib. ii. § 13. ἢ ἄλλως πως: and with regard to γ' ἄλλως and καλῶς, see Crito § 13. n. 5.: and add Phædr. p. 232. A. where for οὐκ ἄλλως the best Mss. wrongly read οὐ καλῶς, and two others οὐ κακῶς.

9. ἦ καὶ πάνυ ῥᾳδίως] The sense plainly demands εὖ γὰρ καὶ πάνυ ῥᾳδίως εἴποις ἂν οὕτως γ' εὔβουλος ὤν. Compare Euthyph. p. 14. A. ῥᾳδίως ἂν εἴποις and Hipp. Maj. § 15. καὶ σμικρόν τί που τοῦτ' ἂν εἴη μάθημα, ὧν σὺ τῶν πολλῶν ἐπίστασαι. With regard to εὖ καὶ ῥᾳδίως, see Heind. on Cratyl. § 122. ἀνδρείως τε καὶ εὖ: and Euthyd. § 13. καλῶς τε καὶ εὖ. Add Politic. § 1. εὖ γε—καὶ δικαίως, and Eryxias p. 399. c. See also Elmsl. Edinburgh Rev. No. xxxvii. p. 90. and Schæfer on Bos, v. Κίνδυνος.

10. εἰκάζοντα—αὑτῷ] *Conjecturing and in the same manner to himself.* This is sheer nonsense. The sense requires εἰκάζοντα κατὰ πάντα εὖ πως.

11. ἀρτιάζοντες] *Playing at odd and even.* So in Aristoph. Plut. 817. Στατῆρσι δ' οἱ θεράποντες ἀρτιάζομεν Χρυσοῖσι. Horace, *Ludere par impar.* This, like all the other games of children, is to be traced to the Mysteries of Religion, as might be shown satisfactorily, were this the place for such a discussion.

12. οὐδὲν ἐπιστάμενοι] The syntax requires οἱ οὐδὲν ἐπιστάμενοι.

οἷον τὸ βουλεύεσθαι ἐστίν· εἰ μέντοι γε μὴ τοιοῦτόν ἐστιν, οὐκ ἄν πω ἐπισταίμην αὐτό.

ΣΙ. Οὐ τοίνυν τοιοῦτόν ἐστιν οἷόν περ τὸ[13] μὴ ἐπίστασθαι κομιδῇ μηδέν τι,[14] ἀλλ' οἷον τὸ μὲν εἰδέναι τι τοῦ πράγματος ἥδη, τὸ δὲ μηδέπω ἐπίστασθαι.[15]

§ II. ΣΩ. Ἆρα τοιόνδε τι λέγεις τὸ βουλεύεσθαι, πρὸς τοῦ Διὸς, ὥς περ γὰρ ἂν[1] καὶ αὐτὸς ὑπομαντεύεσθαί μοι δοκῶ τὴν διάνοιάν σου περὶ τοῦ εὖ βουλεύεσθαι, οἷον τὸ ζητεῖν τὰ βέλτιστα ἑξευρεῖν τινὰ ἑαυτῷ διαπράξασθαι,[2] μηδέπω δὲ ἐπίστασθαι σαφῶς, ἀλλ' ὥς περ ἐν νοήσει τινὶ[3] εἶναι τοῦτο; Οὐχ οὕτω πως λέγεις;

ΣΙ. Ἔγωγε.

ΣΩ. Ζητοῦσι δ' οἱ ἄνθρωποι πότερον ἃ ἂν ἐπιστῶνται τῶν πραγμάτων, ἢ καὶ ἃ ἂν μὴ ἐπιστῶνται;

ΣΙ. Ἀμφότερα.

ΣΩ. Ἆρ' οὖν καὶ τοῦθ' οὕτω πως λέγεις, τὸ ζητεῖν ἀμφότερα τοὺς ἀνθρώπους, ἃ ἄν τε ἐπιστῶνται καὶ ἃ ἂν μὴ ἐπιστῶνται; Ὅμοιον ὥς περ εἴ[4] τις Καλλίστρατον γιγνώσκοι μὲν, ὅς τις ὁ Καλλίστρατος,

13. *οἷόν περ τὸ*] This *τὸ* is well preserved in one Ms. (A), as in the next sentence *οἷον τό*. But the *ὅπερ*, found also in three Mss. (A Ω Z), came from the preceding *ὅπερ τὸ μὴ—πράττειν*, or subsequent *ὅπερ τὸ βουλεύεσθαι* in § 3.

14. *μηδέν τι*] The three best Mss. *μηδέ τι*. The others *μηδὲν* without *τι*. Both united lead to *μηδ' ἕν τι*.

15. *τὸ μηδέπω ἐπίστασθαι*] The antithesis in *τὸ μὲν εἰδέναι τι* requires here *τὸ μηδέπω πάντ' ἐπίστασθαι*: where *πάντ'* is used as in the proverb, *Οὐδ' εἷς βροτῶν ἦν πάντ' ἐπίστασθαι σοφός*: to which Pseud-Euripides alludes in Rhes. 106. *οὐ γὰρ αὐτὸς πάντ' ἐπίστασθαι βροτῶν Πέφυκεν.*

§ II. 1. *ὥς περ γὰρ*] This *γὰρ* has no business here. The sense requires *ὥσπερ οὖν ἂν εἰ*. See n. 4.

2. *τὸ ζητεῖν—διαπράξασθαι*] *The acting so as to endeavor to find.* The same expression is repeated in § 3.

3. *τινὶ*] So Bekker with one Ms. (Ξ). The rest *τινα*.

4. *ὅμοιον ὥς περ εἰ*] So Bas. 2. and Bekker with all the Mss. Of this formula, Plato has the following variations; without *ὁμοίως* in Gorg. p. 447. E. 451. A. 453. C. 479. A. Protag. p. 311. A. 343. E. 346. C. Rep. iv. p. 420. D. Apolog. p. 17. E. and 23. B. with *ὁμοίως* in Apolog. p. 27. D., with *ὁμοιότατον* in Phædon, p. 98. D. and with *οὑτωσὶ* in Protag. p. 343. Well, therefore, did Heind. wish to read *ὁμοίως—ὥσπερ ἂν εἴ τις—λέγοι*, in Phædon, p. 87. B. where Fischer, quoting from Æschin. Socrat. ii. § 10. *ὁμοίως ὥσπερ εἰ*, from iii. § 11. *ὅμοιον ὡς εἰ*, and from Pseudo-Plutarch *Περὶ Παιδ. Ἀγωγ.* ii. *παρόμοιον ὥσπερ*, did not perceive that such passages could not support the omission of *εἰ*: which is duly found in Lucian *Ἀναβιουντ.* § *ὅμοιον ὡς εἰ*, in Hermotim. § *ὅμοιον ὥσπερ εἰ*, and in *Μισθ. Συνοντ.* § *ὅμοιον ὥσπερ ἂν εἰ*: and vainly, therefore, does Reisig in Dissertat. de *Ἄν* p. 125. attempt to defend *ὥσπερ εἴποι τις τόπος* in Aristoph. *Ὄρν.* 180. where Burges on Æsch.

μὴ μέντοι ἐπίσταιτο ὅπου εἴη ἐξευρεῖν, οὐχ ὅς τις εἴη ὁ Καλλίστρατος. Ἀρ' οὕτω πως λέγεις τὸ ζητεῖν εἶναι ἀμφότερα;

ΣΙ. Ἔγωγε.

ΣΩ. Οὐκοῦν ἐκεῖνο μὲν οὐκ ἂν ζητοίη, τὸν Καλλίστρατον εἰδέναι, ὅ γε εἰδώς;

ΣΙ. Οὐ γάρ.

ΣΩ. Ὅπου δέ γε εἴη, ζητοίη ἂν αὐτόν.[5]

ΣΙ. Ἔμοιγε δοκεῖ.

ΣΩ. Οὐκοῦν οὐδὲ τοῦτο ἐζήτει, ὅπου ἦν ἐξευρεῖν αὐτὸν, εἰ ᾔδει· ἀλλ' ἐξεῦρεν ἂν εὐθέως;

ΣΙ. Ναί.

ΣΩ. Οὐκ ἄρα ταῦτά γε δὴ ζητοῦσιν ἅτ' ἂν ἐπιστῶνται οἱ ἄνθρωποι, ἀλλὰ ἃ ἂν μὴ ἐπιστῶνται, ὡς ἔοικεν. Εἰ δὲ σοὶ οὗτος ὁ λόγος ἐριστικὸς εἶναι δοκεῖ, ὦ Σίσυφε, καὶ μὴ τοῦ πράγματος ἕνεκα λέγεσθαι ἀλλ' αὐτοῦ τοῦ διαλέγεσθαι μόνον, σκόπει δὲ[6] καὶ ὧδε, ἐὰν δοκῇ σοι οὕτως ἔχειν ὥς περ καὶ νῦν λέγεται. Ἆρα γὰρ[7] οὐκ ἐν τῇ γεωμετρίᾳ οἶσθα τοῦτο γιγνόμενον; ἀγνοουμένην τὴν διάμετρον τοῖς γεωμέτραις, οὐκ εἰ διάμετρός ἐστιν ἢ μή, οὐδὲ γὰρ οὐδὲ[8] ζητεῖται τοῦτο ὑπ' αὐτῶν εὑρεθῆναι, ἀλλ' ὁπόση τίς ἐστι μέτρῳ πρὸς[9] τὰς πλευρὰς τῶν χωρίων[10] ὧν ἂν διατέμνῃ; ἆρ' οὐ τοῦτό ἐστιν αὐτὸ τὸ ζητούμενον[11] περὶ αὐτῆς;

ΣΙ. Ἔμοιγε δοκεῖ.

ΣΩ. Ὃ περ καὶ ἀγνοεῖται. Ἡ γάρ;

Suppl. 24. has emended ὥσπερ εἰ πόλις πόλος. Correctly too does Heind. in Cratyl. p. 407. prefer ὥσπερ εἰ λέγοι, the reading of Bas. 1 and 2. and Ms. Gud. to ὥσπερ εἰ λέγει: for in this formula the imperfect or optative is always found joined to εἰ. With regard to the expression ὥσπερ ἂν εἰ much will be found in Cl. Jl. No. lxviii. p. 198.: the writer of which would have drawn more correct inferences, had he known the fact that the ellipse is to be thus supplied: ὥσπερ ἂν (ἦν), εἰ—

5. ζητοίη ἂν αὐτὸν] So Bekker with all the Mss. Ald. omits ἄν. Wrongly. See Hipp. § 34. n. 7.

6. σκόπει δὲ] Either read with Steph. δή, or, what is preferable, correct σκοπεῖν δὲ into σκοπεῖν δεόν: where δὲ and δεὸν are, as usual, confounded. See Bast. Epist. Crit. p. 262. and Crito § 12. n. 27. Respecting the formula ὧδε σκόπει, see Heusd. on Euthyph. p. 7. B. ὧδε δὲ σκοπῶμεν.

7. ἆρα γὰρ] The constant formula is ἆρά γε.

8. οὐδὲ γὰρ οὐδὲ] So Bas. 2. and Bekk. with the best Mss. The rest omit the second οὐδέ. But though the sense is plain, the syntax is embarrassed.

9. πρὸς] *In proportion to.*

10. τῶν χωρίων] In English, *space.*

11. αὐτὸ τὸ ζητούμενον] *The very thing sought.* But the sense requires *sought by them*, as a little below, ζητεῖται τοῖς γεωμέτραις. Read, therefore, αὐτοῖς τὸ ζητούμενον.

ΣΙ. Πάνυ γε.

ΣΩ. Τί δαί; ὁ τοῦ κύβου διπλασιασμὸς οὐκ οἶσθ' ὅτι ζητεῖται τοῖς γεωμέτραις, ὁπόσος τίς ἐστιν εὑρεθῆναι λόγῳ;[12] αὐτὸς δὲ ὁ κύβος οὐ ζητεῖται αὐτοῖς εἰ κύβος ἐστὶν ἢ μή, ἀλλ' ἐπίστανται τοῦτό γε. Ἦ γάρ;

ΣΙ. Ναί. [p. 389.]

ΣΩ. Οὐκοῦν καὶ περὶ τοῦ ἀέρος Ἀναξαγόραν τε καὶ Ἐμπεδοκλέα καὶ τοὺς ἄλλους τοὺς μεταρσιολέσχας[13] ἅπαντας οἶσθα ζητοῦντας, πότερον ἄπειρός ἐστιν ἢ πέρας ἔχων;

ΣΙ. Ναί.

ΣΩ. Ἀλλ' οὐκ ἐκεῖνο, εἰ ἀήρ ἐστιν. Ἦ γάρ;

ΣΙ. Οὐ δῆτα.

§ III. ΣΩ. Συγχωρήσαις ἂν οὖν μοι καὶ κατὰ τῶν ἄλλων πάντων οὕτως ἔχειν ἤδη,[1] μηδὲν μηδενὶ εἶναι ζητεῖν[2] τῶν ἀνθρώπων, ὧν ἂν ἐπίστηταί τις, ἀλλὰ μᾶλλον ὧν ἂν μὴ ἐπίστηται;

ΣΙ. Ἔγωγε.

ΣΩ. Οὐκοῦν καὶ τὸ βουλεύεσθαι τοῦτο ἐδόκει ἡμῖν εἶναι αὐτό, τὸ ζητεῖν τὰ βέλτιστά τινα ἐξευρεῖν περὶ ὧν ἂν δέοιτο διαπράττεσθαι αὐτῷ;

ΣΙ. Ναί.

ΣΩ. Τὸ δὲ ζητεῖν γε, ὅ περ τὸ βουλεύεσθαι, ἦν περὶ τῶν πραγμάτων. Ἦ γάρ;

ΣΙ. Πάνυ μὲν οὖν.

ΣΩ. Οὐκοῦν σκεπτέον ἡμῖν ἐστὶ νῦν ἤδη, τί ἐστιν[3] ἐμποδὼν τοῖς ζητοῦσι περὶ ὧν ἂν τὴν ζήτησιν ποιῶνται, εἰς τὸ ἐξευρεῖν.

ΣΙ. Ἔμοιγε δοκεῖ.

ΣΩ. Ἦ ἄρ' οὖν ἄλλο τι φαίημεν ἂν αὐτοῖς ἐμποδὼν εἶναι ἢ τὴν ἀνεπιστημοσύνην;

ΣΙ. Σκοπῶμεν νὴ Δία.[4]

12. εὑρεθῆναι λόγῳ] *To be found out by calculation.*

13. μεταρσιολέσχας] Lucian in Icaro-Menipp. has Μετεωρολέσχης. Aristophanes Μετεωροσοφιστῶν in Νεφ. 359. and Μετεωροφένακας in Νεφ. 332.

§ III. 1. ἔχειν ἤδη] One good Ms. (Z) has ἃ δή, which leads to μὰ Δία.

2. ζητεῖν] The sense requires ζήτημα.

3. ἐστὶ νῦν—ἐστιν] So Bekk. with all the Mss. but one (Ξ), which omits the second ἐστιν. But the first is the superfluous word.

4. σκοπῶμεν νὴ Δία] These words Bekk. assigns to Sisyphus on the authority of four Mss. But such an answer could never be given to the question, Ἦ ἄρ' οὖν ἄλλο τι φαίημεν ἄν: to which, if Sisyphus replied, as he

ΣΩ. Ὑπερφυῶς μὲν οὖν, τὸ λεγόμενόν γε, πάντα κάλων ἐφέντες[5] καὶ πᾶσαν φωνὴν ἐφιέντες. Ἄθρει δὲ δή[6] μετ' ἐμοῦ τόδε· ἆρά γε νομίζεις οἷόν τέ τι[7] εἶναι ἀνθρώπῳ περὶ μουσικῆς βουλεύεσθαι, μήτε ἐπισταμένῳ περὶ μουσικῆς, μηδὲ ὅπως ἢ κιθαριστέον εἴη αὐτῷ ἢ ἄλλο τι τῶν κατὰ μουσικὴν ποιητέον;

ΣΙ. Οὐκ ἔγωγε.

ΣΩ. Τί δαὶ περὶ στρατηγίας ἢ κυβερνητικῆς; τὸν μὴ ἐπιστάμενον μηδέτερα τούτων οἴει ἔχειν ἄν τι βουλεύεσθαι περὶ τούτων τοῦ ἑτέρου, ὅ τι ποιητέον εἴη αὐτῷ ὅπως [ἢ στρατηγητέον ἢ κυβερνητέον ἐκείνῳ αὐτῷ][8] τῷ μὴ ἐπισταμένῳ μήτε στρατηγεῖν μήτε κυβερνᾶν;

ΣΙ. Οὐχί.

ΣΩ. Ἦ καὶ περὶ τῶν ἄλλων οὖν ἁπάντων οὕτως ἀξιοῖς ἔχειν, περὶ ὧν ἂν μὴ ἐπίστηταί τις, μὴ εἰδέναι μηδὲ βουλεύεσθαί πω δυνατὸν τῷ μὴ ἐπισταμένῳ περὶ αὐτῶν;

ΣΙ. Ἔγωγε.

ΣΩ. Ἀλλὰ ζητεῖν περὶ ὧν ἄν τις μὴ ἐπιστήμων ᾖ. Ἦ γάρ;

ΣΙ. Πάνυ μὲν οὖν.

ΣΩ. Τὸ μὲν αὐτὸ ἄρα οὐκ ἂν ἔτι εἴη τὸ ζητεῖν τῷ βουλεύεσθαι.

ΣΙ. Πῶς δή;

ΣΩ. Ὅτι τὸ μὲν ζητεῖν ἐστὶ δή που ἐπὶ τούτοις οἷς ἂν μὴ ἐπι-

ought, Οὐκ ἄλλο, Socrates would properly add Σκοπῶμεν, νὴ Δί', εἴ, ὑπερφυῶς μάλ' οὖν—

5. ἐφέντες] Bekker prefers ἀφιέντες. But we find in Protag. p. 338. A. ἐφεῖναι καὶ χαλάσαι τὰς ἡνίας τοῖς λόγοις: although a little afterwards, where οὐρίᾳ ἐφέντα is read in the vulgate, one Ms. gives ἀφέντα. In the passage before us, however, we ought to read ἐφιέντες and ἀφιέντες, not only on account of the play on the words, but because ἀφιέναι φωνὴν, *emittere vocem*, is better than ἐφιέναι φωνὴν, *vocem immittere*, as appears from Phœn. 1449. φωνὴν ἀφῆκεν, and Hipp. 418. φθογγὴν ἀφῇ: while on the other hand κάλων ἐφιέντες suits better than ἀφιέντος with ἐξιᾶσι πάντα δὴ κάλων in Eurip. Med. 278. and πάντα δὴ κάλων ἐξιέναι in Aristoph. Ἱππ. 753. In English the phrase is *to let out every stitch of canvas*. Respecting the formula πᾶσαν φωνὴν ἰέναι, see Heind. on Euthyd. p. 293. A.

6. ἄθρει δὲ δή] So Bas. 2. and Bekk. with the three best Mss. The rest omit δέ. With regard to the cautionary ἄθρει, compare Aristoph. Ἱππ. 434. ἄθρει· καὶ τοῦ ποδὸς παρίει: and Ὄρν. 1196. ἄθρει δὲ πᾶς κύκλῳ σκοπῶν.

7. οἷόν τέ τι] This τι seems out of place. It ought to follow μουσικῆς.

8. ἢ—αὐτῷ] These words are evidently an explanation of ὅ,τι ποιητέον. Well, therefore, does Ald. omit ὅπως and one good Ms. (Z) omit ἢ κυβερνητέον: for the author doubtless wrote ὅ,τι ποιητέον—ἢ ὅπως. Compare Legg. x. p. 899. A. εἴθ' ὅπως εἴθ' ὅπη: and again B. εἴτε ὅπη τε καὶ ὅπως. Sympos. p. 212. B. ὅ, τι καὶ ὅπη χαίρεις ὀνομάζων. Phædon p. 100. C. εἴτε ὅπη δὴ καὶ ὅπως προσαγορευομένη.

στῆταί τις, τὸ δὲ βουλεύεσθαι οὐχ οἷόν τ' εἶναι δοκεῖ περὶ ταῦτα ἀνθρώπῳ, περὶ ἃ ἄν τις μὴ ἐπιστήμων ᾖ· ἢ οὐχ οὕτως ἐλέχθη;

ΣΙ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν ὑμεῖς χθὲς ἐζητεῖτε τὰ βέλτιστα ἐξευρεῖν τῇ πόλει, οὐκ ἠπίστασθε δὲ αὐτά. Εἰ γὰρ ἠπίστασθε, οὐκ ἂν ἔτι δή που ἐζητεῖτε αὐτὰ, ὥς περ οὐδὲ ἄλλο οὐδὲν ὧν ἂν ἐπιστώμεθα ζητοῦμεν. Ἦ γάρ;

ΣΙ. Οὐ γὰρ οὖν.

ΣΩ. Πότερον οὖν σοι δοκεῖ χρῆναι, ω Σίσυφε, ἂν μὴ ἐπίστηταί τις ζητεῖν ἢ μανθάνειν;

ΣΙ. Μανθάνειν ἔμοιγε, νὴ Δία. [p. 390.]

ΣΩ. Ὀρθῶς γέ σοι δοκεῖ. Ἀλλ' ἆρά γε καὶ διὰ τοῦτό σοι δοκεῖ χρῆναι μανθάνειν μᾶλλον ἢ ζητεῖν, διότι θᾶττον ἂν καὶ ῥᾷον ἐξεύροι τις, εἰ παρὰ τῶν ἐπισταμένων μανθάνοι, ἢ εἰ αὐτὸς ὃ μὴ εἰδὼς,[9] ζητοίη; ἢ δι' ἄλλο τι;

ΣΙ. Οὔκ· ἀλλὰ διὰ τοῦτο.[10]

§. IV. ΣΩ. Τί οὖν οὐκ ἀμελήσαντες χθὲς ὑμεῖς τοῦ βουλεύεσθαι περὶ ὧν ἂν μὴ ἐπίστασθε, καὶ τοῦ ζητεῖν τὰ βέλτιστα διαπράττεσθαι ἐν τῇ πόλει, ἐμανθάνετε παρὰ τῶν ἐπισταμένων τινὸς, ὅπως ἂν ἐδύνασθε τὰ βέλτιστα [1] διαπράττεσθαι τῇ πόλει; Ἀλλ' ἐδοκεῖτέ μοι τὴν ἡμέραν ὅλην τὴν χθὲς αὐτοσχεδιάζοντες καὶ διαμαντευόμενοι [2] καθῆσθαι περὶ ὧν οὐκ ἠπίστασθε, ἀμελήσαντες μανθάνειν, οἵ τε ἄρχοντες τῆς πόλεως καὶ σὺ μετὰ τούτων. Ἴσως δ' ἂν φαίης ταῦτα ἐμοί τε εἶναι πεπαιγμένα πρὸς σέ, τοῦ διαλεχθῆναι μόνον ἕνεκα,[3] σοί τε οὐκ ἐσπουδασμένως ἀποδεδεῖχθαι· ἀλλὰ τοῦτό γε, πρὸς Διὸς,

9. ὃ μὴ εἰδὼς] So five Mss. instead of ὅ. They ought likewise to have read, what the syntax demands, εἰδείης.

10. οὔκ· ἀλλὰ διὰ τοῦτο] The question ἢ δι' ἄλλο τι would lead rather to οὐκ ἄλλ' ἢ διὰ τοῦτο. But the vulgate is supported by a similar impropriety in another spurious dialogue, Hipparch. p. 227. B. Βλαβήσεσθαι δὲ λέγεις ζημιώσεσθαι ἢ ἄλλο τι; Οὔκ· ἀλλὰ ζημιώσεσθαι λέγω.

§ IV. 1. ὅπως ἂν—τὰ βέλτιστα] On this formula, where ἂν is united to a superlative, compare Herodot. iii. 104. ἂν καυμάτων — θερμοτάτων ἔσονται. Thucyd. i. 33, ὡς ἂν μάλιστα καταθήσεσθε. Isocrat. Demonic. § 25. ἂν μάλιστα χρήσει. Antipho, p. 768. ἂν ἥδιστα — ἐγίγνετο. Plato Phædr. p. 230. B. ὡς ἂν εὐωδέστατον παρέχει τὸν τόπον. Apolog. p. 18. c. ὡς ἂν μάλιστα ἐπιστεύσατε. Æschin. Περὶ Παραπρεσβ. § 11. ἂν μάλιστα μεμνήσομαι. Demosth. Olynth. i. § 8. ὡς ἂν κάλλιστα ἔχει: and p. 1106. ὡς ἂν μάλιστα —ἐπίστευσαν.

2. διαμαντευόμενοι] Two of the best Mss. (Ω Z) read μαντευόμενοι. But διὰ is confirmed by § 1. διαμαντευόμενον καὶ σχεδιάζοντα.

3. τοῦ διαλεχθῆναι ἕνεκα] See § 2. ἕνεκα—τοῦ διαλέγεσθαι μόνον.

ὦ Σίσυφε, σκόπει νῦν σπουδῇ· εἰ δοθείη τὸ βουλεύσασθαί τι εἶναι, καὶ μὴ, ὡς περ νῦν, οὐδὲν ἐξευρίσκεται[4] ἀλλοῖον[5] ἢ ὅ περ ἐπιστήμη τε καὶ εἰκασία[6] καὶ σχεδιασμὸς, ὀνόματι σεμνοτέρῳ[7] μόνον κεχρημένον τούτῳ, ἄλλῳ δ' οὐδενὶ, ἆρ' ἂν οἴει αὐτῷ[8] διενεγκεῖν τι ἑτέρους ἑτέρων πρὸς τὸ εὖ βουλεύεσθαί τε καὶ εὐβούλους εἶναι, ὥσπερ καὶ ἐν ταῖς ἄλλαις ἐπιστήμαις ἁπάσαις διαφέρουσιν ἕτεροι ἑτέρων, τέκτονες τεκτόνων ἰατροί τε ἰατρῶν αὐληταί τε αὐλητῶν; οἵ τε ἄλλοι δημιουργοὶ ἅπαντες, αὐτοί τε αὐτῶν διαφέρουσιν, ὡς περ καὶ οὗτοι οἱ ἐν ταύταις ταῖς τέχναις, ἢ οὕτω καὶ ἐν τῷ βουλεύεσθαι οἴει ἄν τι διενεγκεῖν ἑτέρους ἑτέρων;

ΣΙ. Ἔγωγε.[9]

ΣΩ. Εἰπὲ δή μοι· οὐχ ἅπαντες οἵ τε εὖ βουλευόμενοι καὶ οἱ κακῶς περὶ μελλόντων τινῶν ἔσεσθαι βουλεύονται;

ΣΙ. Πάνυ γε.

ΣΩ. Ἄλλο τι οὖν ἢ τὰ μέλλοντα οὔ πω[10] ἐστίν;

ΣΙ. Οὐ γὰρ δή.

ΣΩ. Εἰ γὰρ εἴη, οὐκ ἂν ἔτι δή που μέλλοι ἔσεσθαι, ἀλλ' εἴη ἂν ἤδη. Ἦ γάρ;

ΣΙ. Ναί.

ΣΩ. Οὐκοῦν εἰ μή πω ἐστὶν οὕτως οὐδὲ γέγονε τὰ μὴ ὄντα;[11]

ΣΙ. Οὐ γάρ.

4. ἐξευρίσκεται] The syntax manifestly demands δοθείη καὶ — ἐξευρίσκοιτο.

5. οὐδὲν ἀλλοῖον] *Nothing strange.* But the sense requires *Nothing else.* Read, therefore, οὐδὲν ἄλλο ὂν—

6. ἐπιστήμη καὶ εἰκασία] *Knowlege and a guess.* This is an absurd union. It would have been sense to say ἐπιστήμη γε κατ' εἰκασίαν γε καὶ σχεδιασμόν. *Knowlege, at least as far as guessing is knowlege.*

7. ὀνόματι σεμνοτέρῳ] So Lucian in Icaro-Menipp. ὄνομα σεμνὸν τὴν ἀρετὴν περιθέμενοι: who, probably, had in mind Aristoph. Plut. 159. Ὀνόματι περιπέττουσι τὴν μοχθηρίαν: with which Valckenaer in Diatrib. p. 258. compares Horace's *verbisque decoris Obvolvi vitium,* and Claudian's *pulchra vocabula pigris Prætendi vitiis:* and who might have quoted from Eustath. Il. I. p. 762. 62. σεμνότητος περιπετάσματι τὸ τοῦ πράγματος δυσπρόσωπον συγκαλύπτεται, similar to the language of Sozomemus, quoted by Toup on Suid. ii. p. 55. σεμνότητι— τὴν καινότητα περιπέττουσιν.

8. οἴει αὐτῷ] This αὐτῷ has nothing to govern it. Read οἴει ἐν αὐτῷ, as immediately afterwards ἐν ταῖς ἄλλαις ἐπιστήμαις: and again, ἐν τῷ βουλεύεσθαι; the very word to be supplied here.

9. ἔγωγε] This ἔγωγε is scarcely intelligible by itself. The author wrote Οὕτως ἔγωγε.

10. ἢ τὰ μέλλοντα οὔ πω] The sense manifestly requires τὰ μέλλοντα ἢ ἃ οὔπω ἐστίν; *Is the future aught else than that which is not yet?*

11. Οὐκοῦν—μὴ ὄντα] Literally, *Therefore if (the future) is not yet, thus that which is not has not even been* —which is sheer nonsense. Sound sense requires, *Therefore that, which is not yet, in reality has not been produced;* and in the following proposition, *Therefore, that which is not, if it also never existed, has no existence*

ΣΩ. Οὐκοῦν εἰ μή πω μηδὲ γέγονεν, οὔ πω οὐδὲ φύσιν ἔχει οὐδεμίαν αὐτῶν;

ΣΙ. Οὐ γὰρ οὖν.

§ V. ΣΩ. Ἄλλο τι οὖν οἵ τε εὖ βουλευόμενοι καὶ οἱ κακῶς ἅπαντες βουλεύονται περὶ πραγμάτων οὔτε ὄντων οὔτε γεγενημένων οὔτε φύσιν οὐδεμίαν ἐχόντων, ὅταν περὶ τῶν μελλόντων βουλεύωνται;

ΣΙ. Φαίνονταί γε.

ΣΩ. Δοκεῖ οὖν σοι δυνατὸν εἶναι τοῦ μὴ ὄντος τυχεῖν τινὶ ἢ εὖ ἢ κακῶς;

ΣΙ. Πῶς τοῦτο λέγεις;

ΣΩ. Ἐγώ σοι φράσω, ὅ γε βούλομαι εἰπεῖν· σκόπει γάρ· πῶς ἂν τοξυτῶν πολλῶν διαγνοίης τόν τε χρηστὸν καὶ τὸν πονηρὸν ὅς τις εἴη αὐτῶν; ἢ τοῦτο μὲν οὐ χαλεπὸν εἰδέναι; ἴσως γὰρ ἂν κελεύοις αὐτοὺς ἐπὶ σκοποῦ[1] τινὸς τοξεύειν. Ἦ γάρ;

ΣΙ. Πάνυ μὲν οὖν.

ΣΩ. Οὐκοῦν καὶ τὸν πλειστάκις βάλλοντα τοῦ σκοποῦ[2] κατ' ὀρθὸν κρίνοις ἂν νικᾷν;

ΣΙ. Ἔγωγε.

ΣΩ. Εἰ δὲ σκοπὸς μηδεὶς εἴη[3] κείμενος αὐτοῖς τοῦ τοξεύειν, ἀλλ' ἕκαστος βάλλοι ὅπως βούλοιτο, πῶς ἂν διαγνοίης τὸν εὖ ἢ κακῶς τοξεύοντα αὐτῶν;

ΣΙ. Οὐδαμῶς.

at all; in Greek, Οὐκοῦν ἃ μή πω ἐστὶν, ὄντως οὐδὲ γέγονε—Οὐκοῦν τὰ μή πω ὄντα, εἰ καὶ μήπω μηδὲ γέγονεν, οὕπω οὐδὲ φύσιν ἔχει οὐδεμίαν.

§ V. 1. ἐπὶ σκοποῦ] This passage seems to have escaped the recollection of Wyttenbach on Julian i. p. 71. or else he would have compared it with βαλὼν ἐπὶ — σκοποῦ in Lucian and Achill. Tat. ii.

2. βάλλοντα τοῦ σκοποῦ] The syntax requires τὸν σκοπόν.

3. εἰ δὲ σκοπὸς μηδεὶς εἴη] Here is a manifest allusion to a fable of Æsop preserved in a Vatican Ms., and first published by De-Furia in its metrical form. Θεοῖς Ἀπόλλων ἔλεγε μακρὰ τοξεύων, Οὐκ ἂν βολήν τις πλεῖον' οἶδε τοξεῦσαι· Ὁ Ζεὺς δὲ παίζων ἠρίδαινε τῷ Φοίβῳ, Ἑρμῆς δ' ἔσειεν Ἄρεος ἐν κυνῇ κλήρους· Λαχὼν δὲ Φοῖβος, καὶ τὰ τόξα κυκλώσας, Τὸ βέλος ἔπηξεν ἐντὸς Ἑσπέρου κήπων· Ὁ Ζεὺς δὲ διαβὰς ταὐτὸ μέτρον, εἶθ' ἕστη, Ποῦ γὰρ βάλοιμ' ἂν, φησὶν, οὐδ' ἔχων χώραν; Τόξου δὲ νίκην ἔλαβε μηδὲ τοξεύων. The same fable is thus miserably represented in the prose collection first published by Neveletus from a Palatine Ms. Ζεὺς καὶ Ἀπόλλων περὶ τοξίας (read τοξεύσεως) ἠρίζοντο· τοῦ δὲ Ἀπόλλωνος ἐκτείναντος τὸ τόξον, καὶ τοῦ βέλους ἀφέντος, ὁ Ζεὺς τοσοῦτον διέβη ὅσον Ἀπόλλων ἐτόξευσε.

ΣΩ. Οὐκοῦν καὶ τοὺς βουλευομένους ἢ εὖ ἢ κακῶς, εἰ μὴ ἐπίσταιντο περὶ ὅτου βουλεύοιντο, ἀπορήσειας ἂν διαγνῶναι;

ΣΙ. Ἔγωγε.

ΣΩ. Οὐκοῦν εἰ περὶ μελλόντων πραγμάτων βουλεύονται οἱ βουλευόμενοι, περὶ τῶν οὐκ ὄντων βουλεύονται;

ΣΙ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν τοῦ γε μὴ ὄντος οὐχ οἷόν τ' οὐδενὶ τυχεῖν ἐστί. Πῶς γὰρ ἄν τίς σοι δοκεῖ τοῦ μὴ ὄντος δύνασθαι τυχεῖν;

ΣΙ. Οὐδαμῶς.

ΣΩ. Οὐκοῦν, ἐπειδὴ οὐκ ἔστι τοῦ μὴ ὄντος τυγχάνειν οἷόν τε, οὐδεὶς ἂν ἔτι περὶ τῶν μὴ ὄντων βουλευόμενος τυγχάνοι· τὰ γὰρ μέλλοντα τῶν οὐκ ὄντων ἐστίν. Ἦ γάρ;

ΣΙ. Ἔμοιγε δοκεῖ.

ΣΩ. Οὐκοῦν οὐδ' ὁ μὴ τυγχάνων τῶν μελλόντων, οὐδεὶς ἂν οὔτ' εὔβουλος οὔτε κακόβουλος εἴη ἀνθρώπων ἔτι.

ΣΙ. Οὐ φαίνεται.

ΣΩ. Οὐδέ γε εὐβουλότερος οὐδὲ κακοβουλότερος ἕτερος ἑτέρου εἶναι, εἰ καὶ μὴ ἐπιτυχέστερος καὶ ἀποτυχέστερος εἴη τοῦ μὴ ὄντος.

ΣΙ. Οὐ γὰρ οὖν.

ΣΩ. Πρὸς τί οὖν ποτὲ ἀποβλέποντες[4] ἄνθρωποι πρᾶγμα ἀποκαλοῦσιν ἀνθρώπους εὐβούλους τε καὶ κακοβούλους εἶναί τινας; ἆρά γε ἄξιόν ἐστι καὶ αὖθίς ποτε περὶ αὐτοῦ ἐνθυμηθῆναι, ὦ Σίσυφε;

* * * * * *

4. *πρὸς τί—ἀποβλέποντες*] On this formula, see Euthyph. p. 6. E. Alcib. ii. p. 145. A. Gorg. p. 504. D. *πρὸς ταῦτα βλέπει*: where Sopater, quoted by Routh, reads *πρὸς ταῦτα ἀποβλέπει*, rightly, as in Hipp. Maj. p. 295. D. *ἀποβλέποντες πρὸς ἕκαστον*: although the preposition is omitted in Phædr. p. 238. D. *βλέποντες δὲ δὴ πρὸς αὐτό.*